υἱὲ Ταντάλου, cὲ δ' ἀντί-
α προτέρων φθέγξομαι,
ὁπότ' ἐκάλεcε πατὴρ τὸν εὐνομώτατον
ἐc ἔρανον φίλαν τε Cίπυλον,
ἀμοιβαῖα θεοῖcι δεῖπνα παρέχων.
τότ' Ἀγλαοτρίαιναν ἁρπάcαι,
δαμέντα φρένας ἱμέρῳ,
χρυcέαιcί τ' ἀν' ἵπποιc
ὕπατον εὐρυτί-
μου ποτὶ δῶμα Διὸc μεταβᾶcαι·
ἔνθα δευτέρῳ χρόνῳ
ἦλθε καὶ Γανυμήδηc
Ζηνὶ τωὔτ' ἐπὶ χρέοc.
ὡc δ' ἄφαντοc ἔπελεc, οὐδὲ
ματρὶ πολλὰ μαιόμενοι
φῶτεc ἄγαγον,
ἔννεπε κρυφᾷ τιc αὐτί-
κα φθονερῶν γειτόνων,
ὕδατοc ὅτι τε πυρὶ ζέοιcαν εἰc ἀκμάν
μαχαίρᾳ τάμον κατὰ μέλη,
τραπέζαιcί τ', ἀμφὶ δεύτατα, κρεῶν
cέθεν διεδάcαντο καὶ φάγον.
ἐμοὶ δ' ἄπορα γαcτρίμαρ-
γον μακάρων τιν' εἰπεῖν· ἀφίcταμαι·
ἀκέρδεια λέλογχεν θαμινὰ κακαγόρουc.
εἰ δὲ δὴ τιν' ἄνδρα
θνατὸν Ὀλύμπου cκοποί

41 χρυcέαιc(ιν) κἀν *a*, χρυcέαιcιν ἂν *v* : Erasm Schmid 48 ἐπ' : εἰc ex scholl Mommsen 50 ἀμφιδευρα Ath 641c 52 ἄπορον : *b* (Ath) 53 κακ(α)γόροc *A* $C^{pc}$ $N^{pc}$ c lemm scholl (diserte p 36, 10 Dr), -ωc *E*